καθυπέβαλε, καὶ ὡς σεσηπὸς ἀπέκοψε καὶ ἀπέρριψεν ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δεκάτῳ δευτέρῳ ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κύριος Κύριλλος ὁ δ'. γνώμῃ κοινῇ συνοδικῇ καὶ συναινέσει τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Χρυσάνθου, καὶ τῶν παρευρεθέντων ἁπάντων ἁγίων ἀρχιερέων, ἀλλὰ κατασοφίσασθαι τῶν ἀρχομένων καὶ παρεπιδείξασθαι ἀρχιερέα, συναινοῦντα μέντοι τοῖς λατίνοις καὶ τῶν ἀνατολικῶν μὴ ἀποσχοινιζόμενον· καὶ δὴ εὑρόντες τὸν ἐκεῖ ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐφημερεύοντα ἱερομόναχον Γρηγόριον Φατζέα, ἀμφοτεροδέξιον ὡς ἐνόμισαν, τούτῳ περιῆψαν τὴν φενάκην, καὶ τὸ δράμα ἐνεκεχειρήκεσαν, καὶ πρὸς τὴν Κέρκυραν ἀποστείλαντες καὶ συναρπάσαντες τόν τε Κεφαλληνίας καὶ Ζακύνθου ἀρχιεπίσκοπον, καὶ τὸν Λευκάδος καὶ ἁγίας Μαύρας, καί τινα ἕτερον σὺν αὐτοῖς, ἄνευ ἐκδόσεως πατριαρχικῶν καὶ κανονικῶν ψήφων χειροτονοῦσι δι' αὐτῶν ἀρχιερέα καὶ Φιλαδελφείας ἐξονομάζουσι, καὶ πρόεδρον Ἑνετίῃσι καθιστᾶσι, περιμένοντες δῆθεν τὴν ἔκδοσιν καὶ ἐπιβεβαίωσιν τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου κατὰ τρόπον πρωθύστερον. Ἀλλ' ἔλαθον ἑαυτοὺς ἀπατῶντες, ἐξαπατᾷν ἄλλους πειρώμενοι· ὥστε ἅμα τοῖς Δαλμάταις τούς τε Ἑνετίῃσιν ὀρθοδόξους καὶ τοὺς ἐν ταῖς Ἑλλαδικαῖς περὶ Ἤπειρον νήσοις συνετάραξαν ἐπὶ τῇ ἐκθέσμῳ δραματουργίᾳ τοῦ καινοφανοῦς αὐτοῖς ἱπποκενταύρου ἀνατολικοδυτικοῦ ἀρχιερέως· τοῦτον γοῦν ὡς ἀλλόκοτον τέρας καὶ μυσαρὸν ἔκτρωμα ἀποστρεφόμενοι οἱ ζηλωταὶ τῆς εὐσεβείας, ἀνήγγειλαν τὴν ἔκφυλον αὐτοῦ φυήν, καὶ τὴν παράνομον προχείρισιν τῇ τοῦ Χριστοῦ μεγίστῃ ἐκκλησίᾳ, ἐπικαλούμενοι ὡς τάχος τὴν τομήν, καὶ τὴν ἔνδικον καθαίρεσιν. Ὁ οὖν παναγιώτατος κύριος Ἰωαννίκιος μηδενὶ ἐνδούς, οἷς ὁ πρέσβυς ἐν Κωνσταντινουπόλει τῆς γαληνοτάτης ἀριστοκρατίας παρενεγκεῖν ἐσπούδαζεν, ἀλλὰ τοῦ ἐκδοθέντος δεκρέτου ἐπὶ τῇ τοιαύτῃ ἐγκαθιδρύσει τοῦ δισκελοῦς καὶ ἀκεφάλου κο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ